ΜΕ. μὴ θάνατον εἴπῃς· τοῦτο μὲν γὰρ οὐ σοφόν.
ΟΡ. Φοῖβος, κελεύσας μητρὸς ἐκπρᾶξαι φόνον.
ΜΕ. ἀμαθέστερός γ' ὢν τοῦ καλοῦ καὶ τῆς δίκης.
ΟΡ. δουλεύομεν θεοῖς, ὅ τι ποτ' εἰσὶν οἱ θεοί.
ΜΕ. κᾆτ' οὐκ ἀμύνει Λοξίας τοῖς σοῖς κακοῖς;
ΟΡ. μέλλει· τὸ θεῖον δ' ἐστὶ τοιοῦτον φύσει.
ΜΕ. πόσον χρόνον δὲ μητρὸς οἴχονται πνοαί;
ΟΡ. ἕκτον τόδ' ἦμαρ· ἔτι πυρὰ θερμὴ τάφου.
ΜΕ. ὡς ταχὺ μετῆλθόν σ' αἷμα μητέρος θεαί.
ΟΡ. οὐ σοφός, ἀληθὴς δ' εἰς φίλους ἔφυς κακός.
ΜΕ. πατρὸς δὲ δή τι σ' ὠφελεῖ τιμωρία;
ΟΡ. οὔπω· τὸ μέλλον δ' ἴσον ἀπραξίᾳ λέγω.
ΜΕ. τὰ πρὸς πόλιν δὲ πῶς ἔχεις δράσας τάδε;
ΟΡ. μισούμεθ' οὕτως ὥστε μὴ προσεννέπειν.
ΜΕ. οὐδ' ἥγνισαι σὸν αἷμα κατὰ νόμον χεροῖν;
ΟΡ. ἐκκλῄομαι γὰρ δωμάτων ὅπῃ μόλω.
ΜΕ. τίνες πολιτῶν ἐξαμιλλῶνταί σε γῆς;
ΟΡ. Οἴαξ, τὸ Τροίας μῖσος ἀναφέρων πατρί.
ΜΕ. συνῆκα· Παλαμήδους σε τιμωρεῖ φόνου.
ΟΡ. οὗ γ' οὐ μετῆν μοι· διὰ τριῶν δ' ἀπόλλυμαι.
ΜΕ. τίς δ' ἄλλος; ἦ που τῶν ἀπ' Αἰγίσθου φίλων;
ΟΡ. οὗτοί μ' ὑβρίζουσ', ὧν πόλις τὰ νῦν κλύει.
ΜΕ. Ἀγαμέμνονος δὲ σκῆπτρ' ἐᾷ σ' ἔχειν πόλις;
ΟΡ. πῶς, οἵτινες ζῆν οὐκ ἐῶσ' ἡμᾶς ἔτι;
ΜΕ. τί δρῶντες ὅ τι καὶ σαφὲς ἔχεις εἰπεῖν ἐμοί;
ΟΡ. ψῆφος καθ' ἡμῶν οἴσεται τῇδ' ἡμέρᾳ.
ΜΕ. φεύγειν πόλιν τήνδ' ἢ θανεῖν ἢ μὴ θανεῖν;
ΟΡ. θανεῖν ὑπ' ἀστῶν λευσίμῳ πετρώματι.
ΜΕ. κᾆτ' οὐχὶ φεύγεις γῆς ὑπερβαλὼν ὅρους;
ΟΡ. κύκλῳ γὰρ εἱλισσόμεθα παγχάλκοις ὅπλοις.

---

418. *οἱ θεοί*] Byzantini, *θεοί* libri cum Justino. 429. *νόμον* A *νόμους* ceteri. 430. *ἐκκλείομαι* libri. *ὅποι* B 433. *φόνου* A *φόνου* (ος) B *φόνος* EFc *φόνου* C 434. *οὗ γ' οὐ* A *οὔκουν* B *οὐκ οὐ* E *οὐκ οὐ* F *οὐ γ' οὐ* c *οὗ γ' οὐ* C 439. *εἰπεῖν ἔχεις* ABF. schol.: *ἐὰν δὲ γράφηται ἢ τί, ὁ στίχος οὕτως· τί δρῶντες ἢ τί καὶ σαφὲς εἰπεῖν ἔχεις.*